σιώνης σου λάβοιμεν ἡμεῖς, ἄχρι ἂν ἁμαρτίας ὄγκον τοπαράπαν ἀποθέμενοι, ἐς ἀθανάτου ζωῆς κληρονομίαν ἀφικώμεθα· οὗ ἐσόμεθ' ἄσπιλοι καὶ ἀῤῥυτίδωτοι. Ἐν μονογενεῖ υἱῷ σου. Ἀμήν.

****

ΨΑΛΜΟ'Σ πς'. εὐκτικός.

Genus Iambicum dimetrum acatalecticum. Monocolon.

1	2	3	4
⏑ –	⏑ –	⏑ –	⏑ –
– –	⏑ ⏑ ⏑	– –	⏑ ⏑
⏑ ⏑ –		⏑ ⏑ –	
⏑ ⏑ ⏑		⏑ ⏑ ⏑	
– ⏑ ⏑		– ⏑ ⏑	
Metrum 1.		Metrum 2.	

ΘΕ'Σ οὗας εὐμενὴς ἐμαῖς,
Πάτερ, λιταῖς· πρόφρων μόλοις.
Ἐγὼ τάλας δύης κίχον·
Ἐμὸν φύλασσε καὶ βίον.
Τεὸς πέλω, πέποιθά σοι·
Ζωὴν σὺ σῶε τὴν ἐμήν.
Τὰ καλά μοι εὐεργέτει
Βοῶντί σε δὴ καθ' ἡμέραν.
Σκόρπιζε καὶ νόου κνέφας,
Ἐμὸν γάνου, πάτερ, νοόν.

Ἐμός

peccati onere plenè ſoluti, perveniamus ad poſſeſſionem vitæ æternæ, ubi erimus ſine ruga & macula. In Filio tuo unigenito. Amen.



PSALMUS LXXXVI. Supplex.

PRÆBE aurem mitis meis,
Pater, precibus: lubens advenias.
Ego miſer ærumnâ *ad te* acceſſi,
Meam tuere etiam vitam.
Tuus ſum, confido tibi:
Vitam tu ſerva hancce meam.
Commodis *tuis* mihi benefacito
Inclamanti te profectò quotidie.
Diſſipa quoque mentis nubila,
Meam exhilara, Pater, mentem.

Ἐμός σε γὰρ ζητεῖ νόος
Ὁ γῆθεν ἀμβὰς ἐρανόν.
Σὺ γὰρ, πάτερ, πραὺς πέλεις,
Ἵλαος, εὐμενὴς, πρόφρων.
Ἄκεε τῆς ἐμῆς λιτῆς,
Ὦναξ, προσευχῆς καὶ θρόες
Ἐμῆς κλύε. σὲ γὰρ κακῇ
Βοῶ παρ' ἄτῃ, καὶ ἐμοὶ
Σὺ δ' ἀνταμείβῃ καίριος.
Οὔτις τεὶν πέλοι θεῶν
Ἶσός τις, ἔργοις ὃς θέλει
Αὑτὸν τεοῖσι παρβαλεῖν.
Τὲς καὶ κλίσας λεὼ γονυ-
-πετέντες ἵξονται πρόπαν,
Ὦναξ, τεὸν καλοῖς κλέος
Ἐπαγλαΐζοντες θρόοις.
Καὶ γὰρ μέγας θεὸς πέλεις
Θαητὸς ἔργοις, καὶ μόνος.
Ἡγε, πάτερ, κἀγὼ τεῆς
Σκεθρῶς ἐπιχνεύσοιμ' ὁδε.
Ἐμὸν, φέρτατ', ὄρθε κέαρ,
Ὅπως σέβω σὸν ἔνομα.
Τότε πρόφρων σ' ἐπαινέσω,
Σὲ κηρόθεν μέλψω, τεὸν
Ὕμνοις ἄπαυστος καὶ κλέος.
Ὑπερφιάλων δ' ἐσμὸς κακὸν
Ἐμοὶ μόρον κακῶς δέμει,
Κ'ἐδὲν τεὼ ἔπιν σέβει.

Mea te enim quæritat mens,
Quæ a-terrâ aſcendit cœlum *verſus.*
Tu enim, Pater, mitis es,
Propitius, clemens, benevolus.
Exaudi hanc meam obſecrationem;
Domine, precationem et planctum
Meum auribus-percipe. Te enim arduis
Invoco in rebus, et mihi
Tu quoque auxilio-reſpondes tempeſtivus.
Nemo tibi eſt Deorum
Par quivis, geſtis qui auſit
Se-ipſum tuis æquiparare.
Quos etiam creâſti populi genu-
flectentes affluent univerſi,
Domine, majeſtatem tuam lætificis
Condecorantes plauſibus.
Etenim magnus Deus es,
Spectabilis virtutibus, atque unicus.
Deducito *me*, Pater, et ego tuâ
Naviter te inſequar viâ.
Meum, Benigniſſime, inſtrue cor,
Ut colam tuum nomen.
Tunc hilaris te collaudabo,
Te toto-corde cantabo, tuam
Hymnis ſine-intermiſſione etiam gloriam.
Inſolentium verò examen ſceleratum
Mihi mortem ſceleratè ſtruit,
Et-minimè tuam faciem reveretur.

Αὐτὰρ θεὸς σὺ μὲν πέλεις
Πάνεσθλος ἠδὲ πανευμενής,
Βραδύς τ' ἐς ὀργήν, καὶ πολὺς
Δώρων καλῶν, στερρὸς λόγοις.
Ἄθρει με ἐκ πρόφρων θυμοῦ,
Δούλῳ κράτος φίλον δίδου,
Τεὸν θεράποντα καὶ ῥύου.
Σήμαινέ μοι τέκμωρ τεῆς
Βουλῆς, πάτερ, βουλῆς καλῆς,
Ἐχθροὺς ὅπως ἐμοὺς πρόπαν
Αἶσχος λάβῃ, βλέποντας ὡς
Ἐμὲ στερροῖς βοηθέων.

ΚΥ'ΡΙΕ παντοδύναμε, ἐπειδήπερ ἡ ψυχὴ ἡμῶν ἐπὶ τόσαις κακῶν δίναις ἰλιγγιᾷ τε καὶ σκοτοδινιᾷ, δὸς ἡμῖν ἐν ταῖσδε ταῖς ταλαιπωρίαις πρός σε καταφεύγειν, διισχυριζομένοις τὸ, σαυτὸν δὴ τῶν ἁπάντων ἀνθρώπων δημιουργὸν, ξύμπασι μὲν προνοεῖν ἀνθρώποις, τῇ δὲ μάλιστα ἐκκλησίᾳ σου καὶ τοῖς καθ' ἕκαστα ἐκείνης μέλεσιν ἐπισκέπτεσθαι. ὅπως ἡμεῖς περὶ τῆς σου ἀγαθότητος τοπαράπαν πεπληροφορημένοι, τὴν ἅπασαν ἡμῶν στερρότητα ἐπικαθιστῶμεν σοι, ἐν ἡμετέραις ταλαιπωρίαις ἀληθεῖ σε σέβωμεν φόβῳ, καὶ δὴ καὶ σῆς βοηθείας θάῤῥος τῷ τῶν ἡμετέρων ἐχθρῶν κράτει ἀντικρούωμεν, ἥνπερ ἀσφαλῶς οἴδαμεν ἡμῖν ἀφιξομένην· ὅπως σὺ μόνος σωτὴρ ἡμῶν ἐν ἡμετέρᾳ σωτηρίᾳ δοξασθήσῃ. Διὰ Ἰησοῦ Χριστοῦ Κυρίου ἡμῶν. Ἀμήν.

ΨΑΛΜΟ'Σ

Sed Deus tu quidem es
Omnibus-numeris-bonus, atque clementiſſi-
mus,
Tam tardus ad iram, quàm largus
Donorum pulchrorum, conſtans verbis.
Reſpice me, et benignus eſto,
Servo robur expetitum præbe,
Atque tuum vernaculum eripe.
Ede mihi auſpicium tui
Conſilii, Pater, conſilii benevoli,
Hoſtibus utì meis in-univerſum
Pudor invadat, quum-viderint quemadmodum
Me fulcis auxiliando.

OMNIPOTENS Deus, quandoquidem inter tot malorum tempeſtates, animus noſter non poteſt non variè obtundi: da ut in tantis calamitatibus noſtris ad te unum confugiamus. Statuamus nimirum te omnium hominum creatorem, omnibus quoque hominibus providere; tuæ verò maximè Eccleſiæ ſingulíſque illius membris invigilare. ut quidem ita de bonitate tua planè perſuaſi, omne noſtrarum rerum firmamentum in te collocemus: in afflictionibus noſtris ſerio timore te colamus: illiúſque tui auxilii certitudinem opponamus hoſtium noſtrorum viribus, quod quidem perſuaſum habemus opportunè nobis affuturum: ut unus ſervator noſter in noſtra ſalute glorificeris. Per Jeſum Chriſtum Dominum noſtrum. Amen.

ΨΑΛΜΟ'Σ πή. χελιαστικός.

Genus Elegiacum, ut Psal. vi.

ὯΝΑΞ, ἄλκαρ ἐμὸν, καλέω σ' ἐπὶ νύκτα
καὶ ἀῶ,
Μῶνον ἐμᾶς δῆθεν βάθρον ἐρημοσύνας.
Κλῦθι πάτερ, πρόφρων κε πέλοις εὐχαῖσιν ἐμαῖσιν,
Καὶ μαλακὸν μύθοις οὖας ἐμοῖς παρέχου.
Ὤμοι ἐγὼ, νόος ἀμβλύνθη πολλῶν ὀδυνάων
Κύμασι τῇ καὶ τῇ σκαιὸν ἀτυζόμενος.
Ἔλλιπε γυῖα βίου χλοερὸν μένος, ἤριπε δ' ἔλου
Εἴδωλον θανάτου ὡς ἀΐδεω ναέτα.
Τοῦ μνῶμα δὴ φροῦδον ἀπέπτατο ἀΐσσοισα*,
Σᾶς παλάμας, βασιλεῦ, κάρτα βιασσαμένας.
Ὡς ἀΐδεω ἐς δὴ κίχον εὐρώεντα μέλαθρα,
Λαθαίου διοσσας† ἐν στροφάλιγξιν ἄγεις.
Κἠμὲ δὴ ἔνθα καὶ ἔνθα πολυσφαράγοιο χόλοιο
Κῦμα τεοῦ λωβᾷ προπροκυλινδόμενον.
Ὤμοι ἐγὼ, ἔχθαρον ἀρίγνωτοί με φίλοι τε,
Ὥστε κάθαρμα, ἐμοὶ τοίπερ ἔρεισμα πέλον.

* Locus vexatus, cujus tamen Sensum genuinum me dilucidè satis expediisse confido.

† Fortè διοσσαῖς; vel δεΐσσας; aut etiam δίνας. Sed cum nulla ex his, atque aliis emendationibus mihi adhuc satis arriserit, eum lectoris sagacitati immutatum reliqui. Interea in interpretatione meâ Buchananum ad verbum, ut ducem tutissimum, sequi visum est. Eòque magis, quòd Serranus, *se ejus auspiciis et quasi vestigiis inhærentem Psalmos suos Græco idiomate interpretari*, disertis verbis, certiores nos fecerit.

Ἀμβλώτ[illegible]

PSALMUS LXXXVIII. Lamentabilis.

DOMINE, præsidium meum, invoco te noctu et manè,
Unicum meæ quippe columen solitudinis.
Ausculta, Pater, et benignus sis precibus meis,
Atque facilem aurem orationibus meis præbe.
Me miserum! mens hebetata-torpet multarum ærumnarum
Fluctibus huc et illuc duriter tunsa.
Deseruit artus vitæ virens vigor, et succubuit exitialis
Simulachrum mortis, quasi Orci incolæ.
Cujus sanè memoria obscurata evanuit ruens *,
Me tuâ manu, Domine, graviter urgente.
Atque-adeò *ad* Orci perveni situ-obsita limina,
Propè in Lethææ aquæ gurgite mergis *me* †.
Atque me profectò quaquaversum valde-frementis bilis
Fluctus tuæ male-excepit provolutum [*ad tuos pedes.*]
Hei mihi! odio-habebant bene-noti me, et amici,
Tanquam vilem-hominem, mihi qui fulcrum fuerant.

Caligat

Ἀμβλώτλει δ᾽ ὀφθαλμὸς ὑπ᾽ ἀλγεινᾶς μελεδῶνος,
Καὶ νωθρὸν τελὸν δὴ δέμας ἐνδιάγει.
Αὐτὰρ ἐγὼ παλάμας τείνω κεκμηότι θυμῷ
Πρός σε, πάτερ, σ᾽ ἀοῖ σ᾽ ἠδ᾽ ἐπὶ νύκλα καλῶν.
Ἦ ἄρα τοῖς γε θανοῦσι τεὸν σέβας ἐνδείξειας,
Ἢ καὶ ἀνασαίη σ᾽ ἀγλαΐσων ὁ θανών;
Ἢ καὶ ἐν θανάτῳ τεὸν εὔμενὲς ἀείσοιλο,
Ἢ καὶ ἀλάθεια σὰ, πάτερ, εἰν ἀΐδᾳ;
Ἢ σὰ μὲν ἔργα φανεῖται ἐνὶ σκολόενλι μελάθρῳ,
Γᾷ ἐπὶ λαθαίῳ σά τε δικαιοσύνα;
Αὐτὰρ ἐγώ σε κάλεσσα, πάτερ, καὶ πένθος ἐπ᾽ ἀοῖ
Πρός σε μόλοι τουμόν· πῶς τεὸν οὖας ἐμαῖς
Ἐκκλείεις εὐχαῖσι, ῥέθος τε τεόν μ᾽ ἀπέκρυψας;
Ὤμοι ἐγὼ, πρώτας ἁλικίας περόω
Δύστανος νυ δρόμον, καί σου πλάστιγγα τρόμοιο,
Παντοκράτορ, λοξὸν νοῦν μελέωρος ἄγω.
Ἀδὲ τεᾶς ὀργᾶς κρυερὸν μένος ἐκδιάτεινε,
Σμερδαλέος τε τοπᾶν σεῦ με κάλεψε κότος.
Κῦμά τε ἀμφεκάλυψε παλιῤῥόθιον κελαρύζον,
Ὀρφναῖον θῆκεν κἠμ᾽ ἄπο τῶν ἑτάρων.

ΚΥΡΙΕ παντοδύναλε, Πάτερ ἐλεημοσυνῶν, τουμὸν πάθος ὅρα, ὥστε τοπασ᾽ εἶπαν χασμᾶσθαί με ταλαντούμενον.

Caligat autem oculus ex moleſtâ curâ,
Atque-adeò pigrum totum corpus *ſe* movet.
Attamen ego palmas tendo defatigato animo
Ad te, Pater; te manè, te quoque noctu invocans.
Nunquid igitur defunctis tuum cultum oſtendes,
Nunquid etiam reſurget te celebraturus qui-defunctus-ſit?
Nunquid verò in morte tua clementia celebrabitur,
Nunquid et veritas tua, Pater, apud Inferos?
Tuæne quidem virtutes declarabuntur in tenebricosâ ſede,
Terrâve in Lethæâ tua juſtitia?
Verùm ego te invocavi, Pater, et luctus manè
Ad te perveniet meus: quorſum tuam aurem meis
Occludis precibus, faciemque tuam mihi abdidiſti?
Hei mihi! pueritiæ *meæ* tranſcurro
Miſer ſtadium, et tui lancem [flagellum] terroris;
O OMNIPOTENS! tranſverſum animum ſuſpenſus ago.
Atque tuæ iræ rigor *ſe* diu-protraxit,
Terribiliſque omnino tua me oppreſſit iracundia.
Et æſtus obruit *me* refluus, fremibundus,
Tenebricoſumque me ſtitit procul a familiaribus.

DOMINE Deus omnipotens, Pater miſericordiarum, vides quo in ſtatu ſim, ut neſciam quò me vertam:

ἅπαντα γὰρ ἐναντιούμενα φθορὰν ἐμοὶ μηχανῶνται. ὡς κἀμοὶ οὐκ εἶναι βιωτὸν βίον. σαυτὸν ὅμως, Κύριε, ἐμῆς σωτηρίας μόνην καθίστημι ὑπόστασιν. οὐκ εἰκῆ ἐπέταξας ἡμᾶς καλεῖν σε, καὶ σαυτὸν τὰς ἡμῶν εὐχὰς ἐπακούσειν. μὴ πρόσκρουε γοιῦ τὴν δέησίν μου, μηδ᾽ ἐῷς με ὑπὸ τῆς ὀργῆς σου καταῤῥοφᾶσθαι. ἐν τῇ κρίσει σου αἴσθωμαι τῆς σου ἀγαθωσύνης, ὅπως ἁπαξαπάντων μοι ἐναντιουμένων, σὺ μόνος ὑπάρχῃς μοι παραμυθία· ὅπως, καθάπερ ὀργιζομένου σου εἰς ὑπέρογκον θλίψεως ἐνέπεσον ἄβυσσον, οὕτω καί σου καταλλαγέντος, τῆς ἀναπαύλης τύχω, καὶ δὴ καὶ τὰς θλίψεις τὰς ἐμὰς αἴσθωμαι χρησίμους. Διὰ Χριστὸν Ἰησοῦν. Ἀμήν.



ΨΑΛΜΟ'Σ ϟ', εὐκτικῶς διδακτικός.

Genus Sapphico-Adonicum, ut Psal. LXXXV.

ΠΑΜΜΕ'ΔΩΝ ὥρισε, πέληθα σῶκος
Ἄμμι, κἀκ πρώτου γένεος γένοσδε
Αἰὲ, πρὶν καὶ ὤρεα πρίν τε κόσμον,
        Πρίν τε γενέσθαι
Ἀπέτου γαίας πέδον, εἷς θεός τυ,
Εἷς θεὸς, κ᾽εἰσαεὶ ἔσῃ, κράτιστε,
Ἄφθιτος· πλὴν ἄμμε βροτοὺς ἀφαυροὺς
        Ἐξανανωμᾶς,
Μῦθον ἐντείλας βαρὺν, Ὕμμε θνητοὶ
Αἶψ᾽ ἐπανέρχεσθε ταχεῖς. τεὶν γὰρ,
(Τῷ νυ μεγίστῳ δολιχοῦ χρόνοιο

Αὐτο-

tam: ita omnes res in meam quasi perniciem armatas sentio, ut mihi vita morte ipsa acerbior videatur. Te tamen, Domine, meæ salutis unicum statuo fundamentum. non temerè jussisti ut te invocaremus: nec frustra pollicitus es te nostras preces exauditurum. Ne repelle orationem meam: ne ego ira tua absorbear: in mediis tuis judiciis sentiam tuam bonitatem, ut quum omnes res à me juvando absint, tu mihi unus sis consolatio: ut quemadmodum te mihi infenso in gravissimam calamitatis abyssum conjectus sum, ita & te reconciliato, quietem consequar, measque adeò afflictiones sentiam fructuosas. Per Jesum Christum. Amen.

PSALMUS xc. Supplex et doctrinam tradens.

RECTOR omnium Optime, fuisti Salvator
Nobis, etiam a primo seculo in seculum
Perpetuò; priusquam vel montes, et priusquam mundus,
Priusquam etiam extitisset
Immensæ telluris superficies; es Deus, tu
Es Deus, atque in-sempiternum futurus es, Potentissime,
Finis-et-ortûs-expers. Cæterùm nos mortales imbecilles
Redigis, [in pulverem]
Cùm mandatum edixeris grave, Vos mortales
Continuò redite properi: tibi enim
(Enti *scilicet* maximo diuturni ævi

Per-

Αὐτοδιαίτα)
Ἐντὶ χίλιοι λυκάβαντες, ὡσεὶ
Ἦματος χθιζοῦ τροχὸς, οἷα νυκτὸς
Τελλιπές· χειμάῤῥοον ἠΰτ᾽ αὐτοὺς
Ἐξοχετεύεις.
Ἠΰτ᾽ ὄνειρος πλάσαν, οἷα ποιὰ
Αἶψα μαράνθην, χλοερᾷ δ᾽ ἐπ᾽ ἀοῖ
Λάμπεν, ἄψοῤῥον δνοφερᾷ τε κάρφος
Κάππεσεν ὥρᾳ.
Καὶ τεᾶς ὀργᾶς βάρος ἄμμ᾽ ἀτύσδει.
Ὦ, τεῷ θυμῷ φλόγας ὡς φέροιμεν;
Εὖτε τὰς ἁμῶν ῥυπαρὰς δικαστὴς
Φῆνας ὁμίχλας.
Αἶψα μὰν χρόνος βιότου πέλαται,
Οἴχεται· ὡς δὴ πτερόεντα μῦθον
Τέλλομεν, ὣς καὶ βίοτον. βίου δὲ
Τέρμ᾽, ἐνιαυτῶν
Ἑπτὰ ἤ γ᾽ ὀκτὼ δεκάδες. καὶ ἀκμὴ
Τῶν δ᾽ ἐτῶν μόχθος τελέθει κόπος τε.
Οἴχεται λαιψηρὰ, πετώμεθ᾽ ἄμμες
Ὀξὺ μάλιστα.
Τίς τεᾶς ὀργᾶς κράτος οἶδ᾽; ἐπεὶ δὴ
Σεῦ κότος μᾶλλον σὲ σέβοντα μάρπτει;
Ἡμάτων ἁμῶν τροχὸν ἐξαριθμεῖν
Ἄμμε δίδαξον.

Γνόντας

Per-ſe-exiſtenti)
Sunt mille anni, quaſi
Diei heſternæ curriculum, velut noctis
Excubiæ: [partitio] torrentis inſtar eos
Defluere-facis.
Velut ſomnium evanuerunt, tanquam herba
Citò emarcuerunt *; florente enim aurorâ
Nituit, et viciſſim veſpertinâ horâ facta-eſt
Humi-ſtrata palea.
Atque tuæ iracundiæ gravitas nos urget.
Ah! tuæ indignationis æſtus quomodo ſuſtinebibimus?
Cùm ſordes noſtras opertas Judex
In-lucem-protuleris.
Enimverò ævum *noſtrum* citò tranſvolat,
Elabitur; quemadmodum utique volatilem fabulam
Abſolvimus, ita et vitam. Vitæ autem
Terminus annorum *eſt*
Septem vel octo decades. Atque-adeò flos
Horum annorum labor eſt et moleſtia.
Tranſit pernix, avolamus nos
Quantâ-maximâ celeritate.
Ecquis tuæ iræ vim animadvertit? quippe quòd
Tua iracundia vehementiùs te colentem corripit †?
Dierum noſtrorum ſtadium ad-emetiendum
Nos doce.

* Μαϱάνθεν, ni fallor: idque Dor. et Ion. vel Poet. pro ἐμαϱάνθησαν.
† 1 Pet. iv. 17.

Γνόντας ὡς κείνων ταχύποτμον ὥραν,
Παγκρατὲς τεῆς σοφίης λαβέσθαι.
Ἐσθλὸς ἱλήκοις, πάτερ, ἄμμι πρόφρων,
Ἄμμι θύοιο.
Μέσφ' ἂν ἀλγῶμες; κορέσαιο δ' ἄμμε
Τἀγαθοῖς, ὦναξ, ἐπικαίριοις σοῖς,
Ὥς κε τερποίμεσθα τέλος, πάρος περ
Ἄλγεα τλάντες
Πολλὰ δὴ πολλῶς. τὺ, πάτερ, γάνωσον
Ἄμμε νῦν, δεινὰς λιπάρησον ἄτας.
Τοὖργον ἐκλάμποι τεὸν ἠδ' ἐπ' ἄμμι
Καὶ τεκέεσσι.
Καὶ κλέος τεὸν, κλέος ἐκφανεῖται
Αἰὲ δὴ τεὸν, πάτερ· ἔργα δ' ἀμὰ
Ἐκτολυπεύσῃς τύ περ, ἔργα δ' ἀμὰ
Ἐκτολυπεύσῃς.

ΚΥ'ΡΙΕ παντοδύναμε, ἐπειδήπερ ὅδε ὁ βίος παντοδαπῶν μεςός ἐςι κακῶν, δὸς ἐν τῇδε τῶν πραγμάτων συγκλυδόνι ἡμᾶς σοὶ ἐπερείδεσθαι, ὅνπερ γινώσκομεν ἀθάνατόν τε καὶ παντοδύνατον· ὅπως ἡμῶν ἀσθένειάν τε καὶ ἀςάθειαν ἰῷ· ἡμεῖς δὲ τῆς ἰδίας κενότητος συνειδήσει καὶ ἀτρεκεῖ τῆς σοῦ μεγαλειότητος αἰσθήσει, νομίζωμεν τὰς τῶν ἡμετέρων θλίψεων αἰτίας ἐν ἡμῖν ἐνυπάρχειν. ὥςτέ σε Θεὸν εὐσεβώμεθα, καὶ τὸ τῆς ἡμετέρας ζωῆς βραχὺ καταμελετῶντες, ἐφόσον ζῶμεν λατρεύωμεν σοί. καὶ δὴ καὶ τῆς εὐλογίας σοῦ ἐν ἡμῖν τε καὶ τοῖς ἀμφ' ἡμᾶς ἐνεργοῦ αἰσθανώμεθα· ἄχρι ἂν τῶνδ' ἐπικινδύνων κρατήσαντας ἀγώνων ξυλλέγῃς ἡμᾶς ἐς ἀείδιον τὴν δε εὐδαιμονίαν, ἣν παρεσκευάσω ἡμῖν, ἐν μονογενεῖ υἱῷ σοῦ. Ἀμήν.

Ita-ut animadvertentes illorum breve-et-caducum
spatium,
Enixè tuam sapientiam assequamur.
Benignus reconciliare, Pater, nobis benevolus,
Nobis esto.
Quousque-tandem dolebìmus? Satiato autem nos
Bonis, Domine, opportunus tuis,
Ut exhilaremur tandem, antea
Dolores perpessi
Multos sanè multimodìs. Tu, Pater, lætifica
Nos nunc, graves lenito casus.
Opus effulgeat tuum et in nos
Et liberos.
Atque gloria tua, gloria elucebit
Semper scilicet tua, Pater: opera autem mea
Perficies tu, opera autem mea
Perficies.

OMNIPOTENS Deus, quandoquidem hæc vita multis ærumnis atque miseriis referta est: da ut, in rerum istarum anxietate, tibi innitamur, quem novimus æternum & omnipotentem, ut nostræ huic & infirmitati & incertitudini remedia adhibeas: nos verò nostræ vanitatis conscientia, serióque tuæ majestatis sensu, æstimemus causas nostrarum afflictionum in nobis esse: ut te Deum revereamur: & meditantes brevitatem nostræ istius vitæ, illam universam obsequio tuo addicamus: sentiamus adeò benedictionem tuam & in nobis & in familiis nostris efficacem: donec superatis periculosis istis certaminibus, tandem nos colligas in æternam illam felicitatem, quam præparâsti nobis in unigenito Filio tuo. Amen.

ΨΑΛΜΟ'Σ ϙα'. διδακτικός.

Genus Alcaicum, ut Psal. xI.

Ὁ ἐγκαλοικῶν Ἀθανάτου σκέπῃ,
Χὠ παγκρατίστου ἐνδιάγει σκιᾷ·
Ἐγὼ Θεῷ εἴποιμι μὰν, Σὺ
Πηκτὸν ἐμὸν τελέθεις ἔρεισμα.
Πέποιθ' ἐγώ σοι· σὺ γὰρ ἀποσπάσεις
Πάγας με πρόφρων πανστυγερᾶς κακοῦ
Κραταιὰ θηρητῆρος, ἠδὲ
Δημοβόρου ὀλοοῖο λοιμοῦ.
Κρύψει πτεροῖς σοῖς σε. τύ περ δ' ἔσῃ
Πτεροῖς βέβαιος τοῦδε· κεκρυμμένος.
Κείνου ἀληθείᾳ, ὅσον περ
Ἀσπίδι ἢ φλογόεντι δουρί.
Ὥστ' οὐ τρομοίης νυκτὶ πάθος βαρὺ,
Ὥστ' οὐκ ἐπ' ἦμαρ τὸ πτερόεν βέλος,
Οὐ λοιμὸν ἐν κρυπτῷ βιβῶντα,
Οὐ φανερῶς ψολόεντα * λοιγόν.
Πλευρὰν πέσοιεν χίλιοι ἐς τεὴν,
Δεξιάν τε σὴν μυριὰς ἐμπέσοι
Ἀμμὶξ, θιγεῖν οὐ χροῖ μὲν ἔμπης.
Ἀλλὰ τύπερ στυγερὰν ἀμοιβὴν
Τεαῖς ὀπωπαῖς τιννυμένους δρᾴκοις
Ἐχθρῶν ὁμίλους δυσσεβέων. τὺ γὰρ

* Φολόεντα in Cod. meo.

Ἕρκος

PSALMUS XCI. Doctrinam tradens.

QUI habitat Immortalis in Præsidio,
Hic-etiam omnipotentis degit in umbrâ:
Ego Deo dicam sanè, Tu
Stabile meum es columen.
Confido ego tibi. Etenim subduces
Benevolus me laqueo pertimescendo maligni
Admodùm venatoris, atque
Inter-populum-grassanti lethiferæ pesti.
Proteget te alis etiam suis. Tuque adeò eris
Sub pennis illius tutus: protectus
Ejus veritate quantùm vel
Clypeo, aut coruscanti hastâ.
Adeò-ut non expaveris noctu animi-permotionem
gravem,
Adeò-ut non interdiu volitantem sagittam,
Non pestem in-occulto grassantem,
Non apertè flammans exitium *.
Lævam corruent mille ad tuam,
Dextramque *ad* tuam decies-mille occumbent
Promiscuè, corripere non valebit *te* quidem
nihilominus.
Interea, tu verendam talionem
Tuis oculis luentes cernes
Hostium catervas impiorum. Tu enim

* Vid. 1 Chron. xxi. 16.

Ἕρκος πέλοις μοι, θῆκας ὕψου
Οὐδὸν ἐμοὶ σταθερὰν, φέριστε.
Οὐδὲν βεβήκοι σοι κακὸν, οὐ τεαῖς
Σκηναῖσι πληγὴ ἀγχίμολος δράμοι,
Ἠδ᾽ ἀγγέλοις οἷς εἵνεκέν σου
Φραδμοσύνας μεγαλωστὶ τάξει
Ἐσθλὸς κρατίστας· ὥστε παριστάναι
Εὐηλάτους σοὶ, καὶ φορέειν ἀεὶ
Σὲ χερσὶ, μὴ πους πρὸς λίθοισι
Κρουέμεν. ἦ πατέεις τε πάρδον,
Πατεῖς λέοντος καὶ χαροποῦ χολὴν,
Δράκοντος ἀδροῦ καὶ φοβερὸν μένος.
Εἶπε γὰρ ὁ ὕψιστος, Αὐτὸν
Ἐξερύσω στυγερᾶς ἀπ᾽ ἄτας,
Ἐχθρῶν τε ῥέξω ἔξοχον. οὔνομα
Τοὐμὸν γὰρ ἔγνω, καὶ σέβεται. κλύω
Τήνου λιτὰς μὰν ἵλεως ᾽γὼ,
Τόν κε παριστάμενος φυλάσσω.
Ἄτας τε σώω, καὶ κλέος ἄφθιτον
Αὐτῷ διδοίην, καὶ δόλιχον βίου
Ζωθάλμιος τῷ τέρμα πρόφρων
Δαιμονίου γλυκερῶς πορίσω

ΠΑΝΤΟΚΡΑ'ΤΟΡ Θεὲ, ἐπεὶ δεινοὶ κίνδυνοι ταῖς ἡμετέραις κεφαλαῖς ὑπερκρέμανται, καὶ πανταχῇ ἡμᾶς περιστοιχίζονται· δὸς ἡμῖν τῇ σοῦ βοηθείᾳ λυσιτελούντως χρῆσθαι, τὴν ἅπασαν στερρότητα ἐπὶ σοὶ στηρίζειν, τῷ καὶ παντοδυνάτῳ καὶ τὴν σου ἐς ἡμᾶς ἀγάπην ἀναδείξαντι. τούτῳ ἐρριζωμένοι

θεμελίῳ

Vallum eris mihi, conſtituiſti in-altum
Viam mihi ſtabilem, Benigniſſime.
Nihil accidet tibi mali, neque *ad* tua
Tabernacula plaga propior accedet:
Quinimò angelis ſuis, tui gratiâ,
Imperia ſedulò mandabit
Bonus benigniſſima: adeò-ut aſtiterint
Agmine-compoſiti tibi, et geſtaverint ſemper
Te manibus, ne pes in lapides
Impingat: ita conculcabis etiam pardum,
Conculcabis leonis quantumvis ſævi bilem,
Draconis validi vel formidandam rabiem.
Dixit enim ALTISSIMUS, Illum
Eximam triſti noxæ,
Inimicisque reddam eminentiorem. Nomen
Meum enim agnoſcit, et veneratur. Audiam
Illius preces ſanè propitius ego,
Eumque adſtando protegam.
Clade quoque liberabo *eum*, necnon gloriam incorruptibilem
Illi largiar, ac longitudinem ævi
Felicis ei almus et benevolus
Suaviter præſtabo.

OMNIPOTENS Deus, quandoquidem gravia pericula capitibus noſtris imminent, & variè nos undique circumſident: da nobis ut tuo præſidio fructuosè utamur: conſtituamus noſtram omnem firmitatem in te, qui & omnipotens es & bonam etiam tuam de noſtra ſalute voluntatem patefeciſti: illi fundamento innixi,

θεμελίῳ ἀσάλευτοι ἐμμένωμεν μεταξὺ πολέμου, λοιμοῦ τε καὶ λιμοῦ, καὶ πασῶν ὧν ὅδε ὁ βίος γέμει δυσχερειῶν. εἰδότες τῆς ἡμετέρας σωτηρίας ἐπιμελεῖσθαί σε, ἧσπερ διακόνους τοὺς ἀγγέλους σοῦ ἀπεφήνω. καὶ δὴ καὶ τοῦτ' ἀξίωμα ἡμῖν καθ' ἕκαστα προσάπτοντες, καὶ ἐν ἡμετέρᾳ περιπατοῦντες κλήσει, τῆς προνοίας σου καρπώμεθα καρπούς· ὥστε καλοῦ θλίψεων ἡμετέρων τυχόντες τέλους, εὐχαριστῶμεν σοι τῷ ἡμᾶς ἐλευθερώσαντι, μέχρι ἂν τῆσδε τῆς εἱρκτῆς ἀπηλλαγμένοι δραξώμεθα ὁλοκλήρου τῆσδε σωτηρίας, ἥνπερ ἡμῖν ἐν τοῖς οὐρανοῖς κατέθηκας. Διὰ Ἰησοῦν Χριστὸν Κύριον ἡμῶν. Ἀμήν.



ΨΑΛΜΟ'Σ ιβ'. διδακτικός.

Genus Anacreonticum, ut Psal. XIII.

ὩΣ καλόν ἐστι σ' ᾄδειν
Ὡς καλόν ἐστι μέλπειν
Σ', ὦναξ· ἑοῦς τ' ἐν ὥραις
Καὶ νυκτὸς ἐν ἀμολγῷ.
Ὡς καλόν ἐστι πήκτει,
Κἂν βαρβίτοιο νεύροις,
Κἂν τυμπάνοιο ῥυθμοῖς
Πτυχαῖς τ' ὀπός σε μέλπειν.
Ὦ παγκράτιστον ἔργων
Τεῶν, νόου τε βένθος.
Οὐ καλλάβοι τάδ' ἀνὴρ
Φρενῶν ἄμοιρος ἐθλῶν·

Τὶ,

perſtemus per belli, peſtis, famis, aliorúmque incommodorum, quibus hæc vita obnoxia eſt, fluctus atque procellas: ſciamus ſalutem noſtram tibi eſſe curæ, cujus etiam miniſtros Angelos tuos deſignâſti: nóſque adeò illius dignitatis fructum nobis peculiariter applicantes, & ambulantes in vocatione noſtra, ſentiamus efficaciam providentiæ tuæ: atque ita, felicem calamitatum noſtrarum exitum conſequuti, tibi liberatori noſtro agamus gratias, donec carcere iſtius corporis ſoluti, fruamur plenè ſalute illa quam nobis collocâſti in cœlo. Per Jeſum Chriſtum Dominum noſtrum. Amen.



PSALMUS XCII. Doctrinam tradens.

QUAM decorum eſt te cantare,
Quàm decorum eſt concelebrare
Te, Domine; tam primo auroræ diluculo
Quàm ſero noctis crepuſculo.
Quàm decorum eſt decachordo, [Pandurâ]
Et barbiti nervis,
Atque tympani modulis,
Et flectionibus [Plicis] vocis te celebrare.
O omnipotens factorum
Tuorum, conciliique profundum!
Non tenebit hæc homo
Indole expers bonâ:

ΚΥΡΙΕ παντοδύναμε, ἐπείπερ θορυβοῦνται αἱ ἡμῶν ψυχαὶ ἐξ ἀκρατοῦς ἀνθρωπίνων πραγμάτων ἀταξίας, δὸς ἡμᾶς ὑπ' ἀκριβοῦς τῆς σῆς προνοίας μελέτης τὰς ἡμῶν ψυχὰς ἀσφαλῶς στηρίξαι, εἰδότας πόσῳ θαυμασιωτέραν εἶναι τὴν πρόνοιαν σοῦ, ὅσῳ τῆς ἡμῶν ὑπερέχει ἀγχινοίας, μακροθυμίαν σοῦ οὐκ εἶναι ἄδικον, ἐν τῷ τοὺς ἀσεβεῖς ὑπομένειν· τὴν δ' ἀγαθωσύνην σοῦ ἀείδιον ἐς ἡμᾶς ὡς ἀληθῶς μέλλουσαν. ὅπως δικαιοσύνης τε σῆς κατὰ τῶν ἀδίκων, καὶ σῆς εἰς ἡμᾶς τοὺς παῖδας σου ἐλεημοσύνης τοὐπιχείριον ἐν τῷδε τῷ βίῳ λαβόντες, ὁλόκληρον ἀποκατάστασιν ἐν οὐρανοῖς ὑπάρξουσαν ἡμεῖς προσδοκῶμεν. Διὰ Ἰησοῦν Χριστόν. Ἀμήν.



ΨΑΛΜΟΣ ιδ', χελιαστικός.

Genus Iambicum ſenarium, ut Pſal. XVI.

ΔΟΛΩΝ ἄμυντορ, χελλίων τ' ἔργων Θεὸς
Ἄμυντορ ἐλθὲ δῆλος, ἠδ' ὦ γᾶς μόλε
Ὕψου δικαστὴς ἔκδικος. παλιντίτους
Ὑπερηφάνοισι θὲς τύπερ ποινὰς βαρεῖς.
Μέσφ' ἂν, κράτιστε, γαυριῶσι δυσσεβεῖς;
Μέσφ' ἂν, κράτιστε, δυσσεβῶν ἀγάλλεται
Ὅμιλος ἀδρὸς, πομφοληγόρῳ μέγα
Ἔπος ἀνθερεῶνι καρτερῶς τ' ἐκπλήξεται;
Πατοῦσι λαὸν λὰξ τεὸν, τεὸν θεὸς
Θλίβοισι κλῆρον ἀναξίως, χῆραν, ξένον,
Κτείνουσιν ἀσινεῖς ὀρφανοὺς ὠμᾷ χερί.

Εἶπον

OMNIPOTENS Deus, quandoquidem perturbantur animi noſtri ex involuta rerum humanarum intemperie: da nobis ut ſeria cogitatione providentiæ tuæ animos noſtros firmiter muniamus: ſtatuamus tanto admirabiliorem eſſe providentiam tuam, quanto ingeniorum noſtrorum captus ſuperat: patientiam tuam minimè eſſe injuſtam, dum impios expectas: bonitatem verò tuam in nos fore perpetuam: ut & tuæ juſtitiæ adverſus profligatos homines, tuæ verò erga nos miſericordiæ pignore in hac vita accepto, plenam in cœlis inſtaurationem futuram expectemus. Per Jeſum Chriſtum. Amen.



PSALMUS XCIV. Lamentabilis.

FRAUDIS ultor, et ſceleratorum operum Deus
Ultor affulge; atque O terræ advenias
Ab-alto judex juſte. Meritas
De ſuperbis ſume tu pœnas graves.
Quouſque tandem, Optime, *ſeſe*-ſuperbè-jactitabunt impii?
Quouſque, Optime, impiorum geſtiet
Caterva conferta, et *ex* prætumido ore
Grande verbum ferociter exterrebit?
Conculcant populum pedibus tuum, tuam, DEUS,
Proterunt ſortem indignis-modis, viduam, peregrinum,
Interimunt innocuos pupillos crudeli manu.

Dixeruntque

Εἶπόν θ' ὑπέρογκοι, Οὐ θεὸς τάδε βλέπει,
Οὐ ξυνίσησι πράξεων ἁμῶν βάθος.
Ὦ πάμπαν ὄχλου τοῦ ἄνου ἀνούστεροι,
Μέσφ' ἂν μανεῖσθε, ὦ φρενῶν πᾶν ἄμμοροι
Τὸ οὖς ὁ πλάξας, οὐκ ἀκούσει; ὄμματα
Ὁ δὲ ποιήσας, εὐτρανῶς οὐκ ὄψεται;
Ἔθνη τ' ἐλέγχων πολλὰ καὶ γνῶσιν διδοὺς,
Οὐκ ὔμμ' ἐλέγξει, παντοδαής; δάη βροτῶν
Πέλειν λογισμοὺς παγκένους. ὃδ' ὄλβιος
Τὸν σὺ, κράτιστε, τὸν κατορθώσῃς, νόμῳ
Τεῷ διδάξας, ὡς στενοῦ δειναῖς χρόνου
Φάρυγξι δοίης τὴν γαληνὸν εὐδίαν,
Εὖτ' ἐξορύξῃς βόθρον ἀνδρὶ δυσσεβεῖ.
Οὐ γὰρ λεὼν ὃν οὐθενίσσει πη θεὸς,
Οὐ λιμπανεῖ τοὺς μὰν πάλῳ σοφὸς λάβεν.
Μέσφ' ἂν δίκαιον ἐς καινόνα τὰ πράγματα
Ἀποκαταστήσῃ, τῷ δ' ἕποιντο χὠγαθοί;
Τίς ἀντιστήσῃ δυσσεβέεσιν ἀντ' ἐμοῦ,
Κἀμοί τε φαύλων τίς καθυπερασπίσεται;
Εἰ μὴ παρέστῃ μοι Θεὸς, τάχ' ἂν ἐγὼ
Τὸ πᾶν ὀλώλειν, καὶ δόμων ᾄδεω κίχω.
Ἐπεὶ πόδας μου ἐκπεσεῖν ἐφρασσάμην,
Τότε σθένωσας κῆμ', ἐπεὶ μελεδημάτων

Dixeruntque admodum-insolentes, neutiquam
Deus hæc aspicit,
Nequaquam intelligit factorum nostrorum profundum.
Ah, turbæ dementis planè dementissimi,
Quousque tandem insanietis, O intelligentiæ prorsus expertes?
Aurem qui confinxerit, nonne audiet? oculos
Qui fabricaverit,nonne admodùm-dilucidè cernet?
Gentes etiam qui redarguât multas, et cognitionem *eis* impertiat,
Nonne vos redarguet, omnisciens? Novit mortalium
Esse ratiocinationes perquam-vanas. Hic verò beatus *est*
Quem tu, Benignissime, quem instituetis, lege
Tuâ edoctum, ut brevis ævi arctis
Faucibus concedas tranquillum et sudum cœlum,
Dum excavaveris foveam homini impio.
Neutiquam enim populum suum contemnet Deus.
Nequicquam deseret, quos sanè *in* sortem sapiens exceperit.
Quando tandem justam ad normam res
Restituerit, et huic obtemperabunt boni?
Quis se-sistet-contra improbos pro me,
Et mihi etiam in malos quis vindex erit?
Ni præsto-fuisset mihi Deus, periculum *esset* ne ego
Prorsus periissem, et ad Inferni sedes devenissem.
Quum pedes mihi labefieri cogitaverim,
Tunc quoque fulcîsti me; quum curarum

Infestæ

Κακαὶ θύελλαι ἔνθα κἄνθα με ςρέφον,
Σὺ μὲν γάνωσας θυμὸν ἐμβρονlημένον.

Τί σοι, κράτιςε, κἀσεβῶν μιαρῷ θρόνῳ,
Βίαν ἄθεσμον ἐκμεμηχανημένῳ
Θεσμοῖο προφάσει; καὶ βίῳ θῆκαν λόχον
Ἀνδρὸς δικαίε, ἠδ' ἀθῶον ἐΐκριτοις
Κρίνεσι ψήφοις αἷμα, καὶ μόρῳ πόρον.
Σὺ μὰν ἔρεισμά μοι πέλεις Θεὸς, σὺ μὰν
Ἧπερ πέποιθα, πέτρα. σὺ μὲν τίσεις ἐμὲς
Ἐχθρὲς, ἰήλης τοῖσδε τἐπιlίμιον·
Ἑοῖσι τέτες καὶ πlεροῖς πάμπαν κlάνης.

ΚΥ'ΡΙΕ πανlοδύναlε, οὕτως ὑπὸ βεβήλων ἀνθρώπων ἀδικεῖται ἡ ἐκκλησία σε, ὡς σε μόνε ἡμῖν ὄνlος ὑπερασπιςοῦ, τούτων ἀδικημάτων κόλασιν παρά σε ἡμεῖς ἀπαιlῶμεν. κάτεχε τοιlαροῦν τῶν ἀσεβῶν ὁρμᾶς. γνοῖεν ὡς ἀληθῶς σαυlὸν τοῖς ἡμῶν πράγμασιν ἐπιγρηlορεῖν, καὶ αὐτῶν ἀδικίας ἀθρεῖν, ὅπως καὶ τὸ τέλος σὲ δίκαιον αἴθωνlαι κριlήν. δίδασκε δ' ἡμᾶς σοι ἐπιβεβαιοῦσθαι, ὡς ἐπὶ σοῦ φυλακῇ ἀνθρωπείων ὀλιγωρῶμεν ἀπειλῶν, καὶ ἡσύχως ἡμεlέρων ἀγώνων τέλος καραδοκῶμεν, ἐς τὴν σοῦ δόξαν, ἐχθρῶν σῶν καὶ ἡμεlέρων ὄνειδός τε καὶ ἡμεlέραν σωlηρίαν. Διὰ Ἰησοῦ Χριςὸν Κύριον ἡμῶν. Ἀμήν.

ΨΑΛΜΟ'Σ

Infeſtæ procellæ huc et illuc me agitarent,
Tu ſanè exhilarâſti animum attonitum.
Quid tibi, Præſtantiſſime, *commune eſt cum* impiorum inquinato throno,
Atroces-et-illicitas injurias comminiſcente
Legis prætextu? Quinimò ſtruunt inſidias vitæ
Viri juſti, atque innocentem communibus-et-comprobatis
Calculis condemnant ſanguinem, ac morti dedunt.
Tu tamen præſidium mihi es Deus, tu tamen
Cui confido, rupes: tu quidem animadvertes in meos
Hoſtes, atque afficies iſtos pœnâ;
Et ſuis eos pennis penitus conficies,

DOMINE Deus omnipotens, ſic à profanis hominibus malè habetur Eccleſia tua, ut quum tu unus ſis noſter vindex, harum injuriarum vindictam à te expoſcamus. Compeſce igitur impiorum conatus: re ipſa perſpiciamus te rebus noſtris invigilare, & illorum iniquitates notare, ut te judicem aliquando experiantur. Nos verò doce ut in te uno acquieſcamus: ut tuo præſidio tuti contemnamus hominum minas, & pacatis animis certaminum noſtrorum exitum expectemus, ad tuam gloriam, hoſtiúmque tuorum & noſtrorum opprobrium, noſtrámque ſalutem. Per Chriſtum Jeſum Dominum noſtrum. Amen.

ΨΑΛΜΟ'Σ ιζʹ, ἐπιπομπευτικός.

Genus Iambicum Heroicum cum Iambico Dimetro, ſive quaternario. Dicolon diſtrophon.

Hex. – ⏑⏑ | – ⏑⏑ | – ⏑⏑ | – ⏑⏑ | – ⏑⏑ | – ⏑ | Vid. Pſal. XII.
Iamb. ⏑ – | ⏑ – | ⏑ – | ⏑ – | ⏑ – ⏑ || Vid. Pſal. LXXXVI.

ἈΘΑ'ΝΑΤΟΣ μὲν ἄνασσε· γεγάθοις γαῖ, ἰδὲ
νᾶσοι
Ὁμοῦ ἀγάλλεθ' ἀλοσφυρεῖς.
Τόνδε νέφος, σκιόεσσα πέριξ ἐκάλυψεν ὁμίχλα,
Ἀδ' ὀρθόβωλος καὶ θέμις,
Ἀδὲ δικαιοσύνα τελέθοι βάθρον οἷο θρόνοιο.
Προπομπὸς ἀδ' ἐχθρὼς φλέγειν
Δαΐοεν παντᾷ τε τιτύσκετο πυρπόλος αὐγὰ,
Πυκινοῦ πυρὸς πυκιναῖς ῥοαῖς.
Αἰθὴρ καὶ κατέλαμψε διάνδιχα· γαῖα δ' ὄπωπε,
Λάβρῳ στενάχησε καὶ τρόμῳ.
Ὤρεα δ' ἐξεπλάγησεν ἀπ' ἀθανάτοιο προσώπου,
Ὡς κηρὸς ὤρη καὶ τάκεν,
Ἀντία τᾶς γᾶς δῆθεν ἐρισθενέος βασιλῆος·
Ἀδ' ὠρανοὶ αἰγλαφόροι
Τῷδε δικαιοσύναν μεγάλᾳ ἤγγειλαν αὐτᾷ,
Τήνου κλέος λεῷ δράκον.
Πάντες γῶν κενεᾶς ἀπάτας εἴδωλα καμόντες,
Κενῶν θεῶν δῶλοι κενοὶ,
Πάντες ἐπαισχυνθεῖεν· ἀτὰρ θεοὶ αὐτὸν ἅπαντες
Σέβοντε,

PSALMUS XCVII. Magnificè-Triumphalis.

ENIMVERO' IMMORTALIS regnat: exultet terra, atque insulæ
Simul lætamini mari-pedibus-substrictæ.
Hunc nubes, umbrosa circumcinxit nebula,
Atque etiam recta-consulens justitia,
Et æquitas est basis ejus throni.
Atque præcursor *ejus* ad-hostiliter-comburendum,
Ferociterque quaquaversum, collineabat purpureus splendor,
Frequentis ignis frequentibus fluentis.
Æther quoque fulsit bifariam: terra quoque vidit *hoc*,
Atque vehementi ingemuit tremore.
Montes profectò territi-sunt ex IMMORTALIS conspectu,
Velut cera montes etiam liquefacti-sunt,
Occursu nempe terræ præpotentis regis:
Simul cœli flammiferi
Huic æquitatem ingenti prædicârunt voce,
Ejus gloriam populi conspexerunt.
Omnes itaque vanis præstigiis idola confingentes,
Vanorum Deûm servi vani,
Omnes pudefiant: quin-potius Dii Ipsum cuncti

Σέβοιτε, μῶνον μὰν Θεόν.
Ἔκλυεν ἀδ' ἐχάρη ζαθέη μεγαλωστὶ Σιώνη,
Κῶραί τ' Ἰούδα δὴ χάρεν
Σᾶς γε δικαιοσύνας χάριν, ἄφθιτε. ἔξοχα πάντων
Τῶν ἐν χθονὶ κρατεῖς τὺ γάρ,
Καίνυσο συμπάντων τε θεῶν καὶ ὑπείροχος ἐστί.
Οἳ γῶν φιλοῦντες τὸν Θεὸν
Ὕμμε, κακὸν μισεῖτε· φυλάσσει τ' ἐσθλὰ φιλοῦντας,
Καὶ τοὺς χερῶν σώει κακῶν.
Ὀρθονόοις ἄρα λάμψε φόως ζωθαλμίου αἴγλης,
Γάνος δικαίοις μὰν μέγα.
Ἐσθλοὶ, ἀθανάτῳ ἔπι χαίρετε, μναμοσύνας τε
Ἄγετε καλῷ τέκμαρ νόῳ.

ΚΥ'ΡΙΕ παντοκράτορ, δὸς ἡμᾶς, ἐν ταύτῃ τῆς ἐκκλησίας σοῦ ἐπὶ σταυρῷ σταυρουμένης ταπεινώσει, Χριστοῦ, δήπουθεν κεφαλῆς ἡμῶν, νίκην τε καὶ θρίαμβον κατανοεῖν, μὴ ἡμᾶς ἐν τοῖς δ' ἀγῶσιν ἀθυμεῖν. Θεωρῶμεν τοῦ εὐαγγελίου σοῦ σεμνοπρεπῆ μεγαλειότητα, οὗπερ φωνὴ τοπάλαι διὰ ξύμπαντα κόσμου κατηχήσατο, καὶ ἐς τονῦν ὑπερφυῶς ἀνεώθη. Ἀπεργάζου, Πάτερ, τὴν ἐκείνου ὀσμὴν ὑπάρχειν ἡμῖν ἐς σωτηρίαν, ὡς σὲ μὲν πατέρα ἀγαπῶμεν, σέβωμέν σε ἐν τῇ ἐκκλησίᾳ σοῦ. χαίρωμεν δὲ τούτου χάριν ἐς τὸ μάλιστα, ὅτι τὰ ὀνόματα ἡμῶν ἀναγεγραμμένα εἰσὶν ἐν βιβλίῳ ζωῆς, ἥσπερ κληρονομίαν τοτέλος ἐπιβατεύσωμεν. Διὰ Ἰησοῦν Χριστόν. Ἀμήν.

Veneramini, unicum certè Deum.
Aufcultabat, atque valde gavifa-eft divina Sion,
Puellæque Judæ profectò gavifæ-funt
Tuæ juftitiæ causâ, Æterne: eminentior quàm omnes
Eorum in terris, regnas tu enim;
Superafque univerfos Deos, atque excellentior es.
Idcirco, qui diligitis Deum,
Vos, malum odio-habete: tuetur quippe bonitatem-complexos,
Et illos *e* manibus confervat nefariis.
Corde-probis utique effulfit lux almi jubaris,
Lætitia juftis fanè ingens.
O boni! in Immortali gaudete, et memoriæ *ejus*
Aufpicium laudate grato animo.

DA, omnipotens Deus, ut in hac Ecclefiæ tuæ fub cruce militantis humilitate, noftri capitis, Chrifti nimirum tui, victoriam triumphumque perfpiciamus: ne in noftris certaminibus animi noftri collabantur: contemplemur Evangelii tui auguftam majeftatem: cujus vox per univerfum terrarum orbem olim audita, noftro tempore inftaurata fuit. Effice igitur Deus nofter, ut illius odor fit nobis in falutem, amplectamur te Patrem: colamus te in Ecclefia tua: lætemur verò hac de caufa maximè, quòd nomina noftra fint fcripta in libro vitæ, cujus plenam tandem aliquando poffeffionem adeamus. Per Jefum Chriftum. Amen.

ΨΑΛΜΟ'Σ ργ'. διδακτικός.

Genus Sapphico-Adonicum, ut Psal. LXXXV.

ΕΙ' δ' ἄγ', ὦ πάμπαν, φίλε θυμὲ, τεῦ
Καὶ νόυ ξυνὸν βάθος, ἠδὲ γλῶσσα,
Τἀμὰ δὴ ξύμπαντα Θεῷ μεγίστῳ
Ἄδετε κεδνόν.
Κεδνὸν ἀείδοις, φίλον ἦτορ, ὐ δὴ
Παντκάλων Θεοῦ γεράων λαθοίμην,
Τῶν ἐμοὶ χαρίσσατο καλὸν ἱρῶν
Πλῆθος ἐάων.
Πλημμελεῖς ἄλειψεν ὃς ἐσθλὸς αἰνοῦ
Εὐθύνας κακοῦ, χαλεπάς τε νούσους
Κήδεται, βίου τε μόρον παλαίσας
Τέρμα τάνυσσεν.
Ὅς τεὸν κοσμεῖ στεφάνῳ κάρηνον,
Ἐς τεὸν πηγὰς στόμα χεῦεν ἐσθλῶν,
Αἰετοῦ δίκην, γλυκεράν θ' ὃς ἥβην
Ἐξενέωσε.
Χὠ κριτὴς κακῶν, ἀγαθῶν πατήρ τε
Ἐσθλὰ μὰν ἐσθλῷ πόρε θεσμὰ Μωσεῖ,
Ἰσσάκου δεῖξεν γενεᾷ κρατίστων
Δόγμα θεμίστων.
Πραΰς ὤν, δοτὴρ μεγάφρων, φέριστος,
Οὐχ ἑοῖς αἰεὶ κοτέων ἀπηνὲς,

PSALMUS CIII. Doctrinam tradens.

EJA age, summis-viribus, O cara animula, meæ
Quoque mentis profundum judicium, atque lingua,
Imo-verò mea universa, Deo Optimo-maximo
Canite venerabundè.
Venerabundè canes, carum cor! nequaquam sanè
Perpulchrorum Dei beneficiorum immemor-ero,
Quorum mihi concessit largam utique sacrorum
Copiam Bonorum.
Flagitiosas qui deleverit benignus atrocis
Sceleris *mei* rationes, acerbosque morbos
Sanaverit, et *cum* vitæ fato luctatus
Ætatem *meam* produxerit.
Qui tuum ornaverit coronâ verticem,
In tuum os fontes infuderit Bonorum:
Atque, aquilæ ritu, jucundam qui juventutem
Renovaverit.
Et qui judex improborum, proborumque Pater
Bona sanè bono tradiderit jura Mosi;
Isaaci ostenderit generi optimarum
Instituta legum.
Lenis cùm-sit, largitor magnanimus, præstantissimus,
Non suis semper excandescens severè;

Οὔτε ϗ δίκαια τυπῶν, παλιντί-
-τους θέτο ποινάς.
Ὅσσον Οὔλυμπος χθονὸς ἐκδιῦσα,
Τόσσον ὕψουται γλυκερὸν τὸ τιμοῦ
Τοῖς ἑοῖς πάμπαν μένος, ὅσσον ἠοῦς
Ἀντιπροσώπου
Λαῖτμα διῦσα δνοφερᾶς κελεύθου,
Τόσσον ἀμὰς ἀμπλακίας δίχασσε
Πυκνὰ σκορπίζων ἑκὰς, ἠδὲ μνήμην
Τῶνδ᾽ ἀναλείψας.
Χρηςὸς ὡς παίδεσσι πατὴρ φίλοισι,
Ὡς Θεὸς χ᾽ἑοὺς φιλέει προσηνὴς,
Τούς γε νημερτῶς πισύνους, ἰδ᾽ αὐτὸν
Κηρὶ φιλεῦντας.
Καὶ σὺ μὲν βυσσοὺς πραπίδων μυχούς τε
Οξὺ δενδίλλεις, πάτερ. ἦ γὰρ ἄμμε
Πηλοπλάςους γνῶς τελεθεῖν, ἀφαυρούς τ᾽,
Ωκυμόρους τε.
Εἴκελος πώα βίος ἐςὶ θνητῶν,
Εἴκελος χόρτῳ. φλεγυρὸς γὰρ ἀνθεῖ
Βαιὸν, αἶψα δὴ ἀνέμου πνοαῖσι
Πέσσε μαρανθείς.
Ἐμμένοι δὴ εὐαγέων ὅμιλος,
Ἐμμένοι βουλαῖς ἀγαθαῖς θεοῖο
Εἰσαεὶ, ϗ τηλεγόνοισι φύτλαις
Φύτλα τεθήλοι.
Τῆνος ὑψίςου ὑπὲρ οὐρανοῖο,

Στερρὸν

Neque etiam ſecundùm-juris-rigorem cædendo,
meritas
Inflixit pœnas.
Quantùm cœlum terrâ amplitudine-diſtat,
Tantùm effertur blandum illud ejus
In ſuos omnino animus: quantùm auroræ
E diametro-oppoſitæ
Latitudo diſtat *ab* opaco [occidentali] tramite,
Tantùm noſtra delicta removit,
Crebrò diſſipando *ea* procul, atque memoriam
Eorum expungendo.
Mitis quemadmodum liberis pater *eſt* dilectis,
Ita Deus quoque ſuos diligit, placidus;
Illo quippe verè fretos, atque illum
Ex-animo diligentes.
Atque adeò tu ima præcordiorum, penetraliaque
Acutè *oculis tuis* colluſtras, Pater: Quippe nos
Luto-fictos noviſti eſſe, et imbecilles,
Et caducos.
Similis flori vita eſt mortalium,
Similis gramini: nitida enim floret
Paulisper, continuò verò venti afflatibus,
Percuſſa concidit.
Veruntamen perſeverabit ſanctorum cœtus,
Perſeverabit *in* conſilio bono Dei
In-perpetuum, atque ſerò-natis propaginibus
Propagines florebunt.
Ille altiſſimum ſuper cœlum

Firmum

Στεῤῥὸν εὐπάκτου θέτο βάθρον ἀρχῆς,
Πανσθενὴς κρατεῖ βασιλεὺς, ἁπάντων
Οἴακα νωμῶν.
Ἄγγελοι Θεοῦ θεράποντες, ἀλκὴν
Ἔξοχοι, ἐφετμοσύνας θεοῖο
Καλὰ ῥέζοντες, Θεὸν ὑμνέοιτε
Αἰὲ μέγιστον.
Ἠδὲ καὶ Θεοῦ στρατοὶ, οἱ Θεῷ τε
Ὀρχάμῳ πειθήνιοι, ὄρκαμον δὴ
Ὕμμες εὐθύμως Θεὸν ὑμνέοιτε
Αἰὲ μέγιστον,
Ὅσσα κἀππέτου διὰ τέρματ' ἀρχῆς
Παγκρατὴς ἔκτισσε Θεὸς, μεγίστῳ
Ἀμφέπων κράτει, Θεὸν ὑμνέοιτε
Αἰὲ μέγιστον.

ΚΥ'ΡΙΕ παντοδύναμε, δὸς ἡμῖν τοῖς τέκνοις σου τὸ τῶν χαρισμάτων σου μέγεθος ἀκιβδήλοις καρδίαις καταλαμβάνειν. ὅπως μὴ ἀχαρίστως τούτων ἀμνηστῶμεν. Μέγα μὲν ἐστιν, ὅτι τὸν κόσμον ἐδημιούργησάς τε καὶ τοῦτον ἐνεργῷ προνοίᾳ σου ἀεὶ κυβερνᾷς· τὸ δὲ μέγιστον ὑπάρχει τὸ τῆς ἡμετέρας ἀπολυτρώσεως μυστήριον, ὅπερ τῇ ἐκκλησίᾳ σου κυριόν τε καὶ οἰκεῖον εἶναι ἠθελήθης, τὸ δήπουθεν ἐκείνῃ ἀφεὶς τὰς ἁμαρτίας, καὶ πάλιν γεννήσας εἰς νέαν ζωὴν, δώροις διηνεκὲς δωρῇ νέοις διασώζων. ἐκεῖνο γοῦν τῶν σου ἁπάντων χαρισμάτων ἀξιοπρεπέστατον, βέλτιστε Πάτερ, ἐφ' ἡμῖν ἀνεξάλειπτον ἐγχάρατε, ὅπως μὴ τούτου μνήμην ποτὲ καρδιῶν ἡμῶν ἐκπεσεῖν. καὶ διότι ἐν ἡμῖν περιμένουσιν ἔτι τὰ τῆς ἁμαρτίας λείψανα, εὐχόμεθά σοι, ὡς ἡμᾶς, καθάπερ προσήκει,

Firmum benè-compacti composuit solium imperii,
Omnipotens dominator rex, universi-mundi
Clavum tenens.
Angeli DEI administri, virtute
Præstantes, mandata DEI
Impigrè exequentes, DEUM collaudate *vos*
Semper supremum.
Quin-imò DEI exercitus, quique DEO
Imperatori *vestro* dicto-audiunt, imperatorem utique
Vos DEUM animosè collaudate
Semper supremum.
Quæcunque etiam vasti per fines imperii *Ejus*
Omnipotens creavit DEUS, supremâ
Ubicunque-fovens *vos* potentiâ, DEUM collaudate
Semper supremum.

DOMINE Deus omnipotens, da nobis filiis tuis ut beneficiorum tuorum magnitudinem integris animis percipere possimus, ne ingrato silentio illa sepeliamus. Magnum quidem illud est, quòd mundum & creâsti, & illum efficaci tua providentia sustines: maximum verò est redemptionis beneficium, quod Ecclesiæ tuæ proprium & peculiare esse voluisti, cui nimirum remittis peccata, quam sancta vitæ novitate instauras. Illud ergo omnium tuorum donorum augustissimum, Pater optime, animis nostris penitus insculpe, nec illius memoriam patiaris unquam nobis excidere. Et quoniam in nobis adhuc remanent tristes peccati reliquiæ, oramus te etiam, ut dum nos castigas ut me-

remur,

παιδείων πατρικαῖς παιδείοις ῥάβδοις, καὶ ἡμετέρας δὴ θλίψεις ἐνεργὲς οὕτως ἀποφήνης, ὡς αἱ ἐπαγγελίαι σου οὐρανοῦ τε καὶ γῆς στεῤῥότεραι ἀΐδιον πρὸς ἡμᾶς τὴν ἐλεημοσύνην σου μέλλουσαν ἐπαγγέλλονται. δὸς γοῦν ἡμᾶς προσελθεῖν σοι τὰς ψύχας εἰρηναίους. μυστηρίων τῶνδε εὐχαριστοῦντες ἐπιλαβώμεθα, ὧν δὴ τὸ ἀγλαὸν οἱ καὶ ἄγγελοι θαυμάζουσι, καὶ πᾶσαι δὴ κτίσεις ὑμνοῦσί σε. Ὅπως ἡμεῖς οἱ παῖδές σου τῆς ἐξ Ἀδὰμ λύμης ἀφωρισμένοι σὲ μὲν ἀιδίοις δοξάζωμεν δόξαις ἐν ἐκείνῃ ὁλοκλήρῳ ἀναπαύσει, ἣν καθέστησας ἡμῖν ἐν οὐρανοῖς. Διὰ Χριστὸν Κύριον ἡμῶν. Ἀμήν.



ΨΑΛΜΟ`Σ ρμά. χελιαστικῶς εὐκτικός.

Genus Iambicum trimetrum cum Iambico Dimetro, ut Pſal. LXII.

ΠΑ'ΤΕΡ, καλῶ σε, πάτερ, βοηθέων μόλε
Θρήνων ἀκούσας τῶν ἐμῶν.
Εὐχῶν ἱκάνοι πρός σε καμῶν δὴ θρόος,
Ὡς μυστικῆς καπνὸς φλογός.
Χερῶν τε δώρων ἵλεως λάζου ἐμῶν,
Ὡς δείελον λοιβῶν γέρας.
Φρούρει τὰ χείλη τἀμὰ, κ' ἐς στόματος θύραν
Δεινὰς φυλακὰς τίθει, πάτερ.
Οὐδ' ἂν θαλείης τῆς ἀταθάλου θίγω
Ἀταθάλων ὁμέστιος.

Ὡθλός

meremur, paternis virgis caſtiges, noſtráſque ita afflictiones fructuoſas reddas, quemadmodum promiſſiones tuæ cœlo & terra firmiores perpetuam ergà nos tuam miſericordiam futuram pollicentur. Da igitur ut pacatis conſcientiis te adeamus: myſteria iſta gratis animis complectamur, quorum ſplendorem ipſi etiam Angeli admirantur, omneſque adeò creaturæ te celebrant. Ut nos ſimul tui ex Adami lue ſegregati, illud beneficium agnoſcamus, téque adeò perpetuis laudibus celebremus in perfecta illa quiete, quam nobis collocâſti in cœlo. Per Chriſtum Dominum noſtrum. Amen.



PSALMUS CXLI. Luctuosè ſupplex.

PATER, invoco te, Pater, ad-auxiliandum adveni,
Planctibus auditis hiſce meis.
Atque-adeò precationum perveniat ad te mearum clamor,
Tanquam myſticæ ſuffitus flammæ;
Manuumque dona propitius accipe mearum,
Ut veſpertinam libaminum oblationem.
Præſidio-tuere labia mea, atque ad oris januam
Acres cuſtodes colloca, Pater.
Neutiquam epulum illud malum attrectabo
Malorum contubernalis.

Probus

Ὠθλός με παίοι, μαλθακός κε μοὶ πέλοι,
Οὐδ' ἧσσον, ὡς μύρου δρόσος,
Βλάψαι κάρτιον. ὢ, μόλοι καιρὸς ποτὲ
Ὅτ' ἐγὼ ταλαιπώρων χάριν
Τούτων λιτῶμαι, ὡς πρυτάνεις ἀλάστορες
Κρημνῶν πέσωσι κατωφερεῖς,
Γένοιτο κ' ἀμοῦ κεν λόγοι τότε γλυκεῖς.
Ἀτὰρ τανῦν (φεῦ πήματος)
Ἡμέτερα τ' ὀστᾶ, ξύλον ὡς, τὸ μὰν ἀνὴρ
Σχίζησι τῇ καὶ τῇ σκεδᾷ
Κτυπῶν σκεπάρνῳ, ἔγκεινται παναθλίως
Γοεροῖς παρὲκ τύμβων πέδοις.
Ἀσκαρδαμυκτί σ' ἐξοπιπτεύω, πάτερ·
Ἐλπὶς φίλη, μὲ μὴ λίπῃς.
Πεδῶν με πρόφρων σῶε, τὰς ἐμοὶ θέσαν
Ῥεκτῆρες ἔργων χειλίων.
Ἄμυδις πέσωσιν ἄνδρες ἐς πέδας κακοὶ,
Ἐγὼ, πάτερ, ἀσκηθὴς μόλω.

ΚΥΡΙΕ παντοδύναμε, ἐπεὶ ἡμᾶς βλέπεις ταῖς τῶν ἀδίκων ἀνθρώπων παλιμβολίαις κατατρύχεσθαι, δὸς ὅπως μὴ τοῖς ἐκείνων βλασφήμοις λόγοις βλασφήμους λόγους ἀντικρούωμεν, ἀλλὰ δὴ καὶ πρός σε καταφεύγωμεν, τὸν οὕτως ἡμᾶς ἐπασκεῖν ἐθέλοντα. Σὺ δὲ, ὦ Κύριε, κἂν ἡμᾶς τουνῦγε ἐς χαλεπωτάτας συνείρξῃς στενοχωρίας, τοῖς ἡμῶν ὅμως ἐπισκέψῃ πράγμασιν· ὡς καὶ μεταβληθέντων τούτων, δακρύωσιν οἱ ἐχθροὶ, οἱ νῦν ἡμῶν καταγελῶντες. καὶ σὺ δὲ μάλιστα καὶ ἐν ἡμῶν θλίψει, καὶ ταύτης καλῇ ἐκβάσει, καὶ ἐν δικαίᾳ ἐχθρῶν τε σῶν καὶ ἡμετέρων φθορᾷ δοξασθήσῃ. Διὰ Ἰησοῦ Χριστόν. Ἀμήν.

ὝΜΝΟΣ

Probus quiſque me feriat, mollis mihi erit,
Neque minus quàm nardi ros
Nocebit capiti. O veniat tempus tandem
Quando ego infelicium illorum gratiâ
Te deprecabor, ut judices *eorum* nefandi
Præcipitiis deciderint deturbati,
Fientque mei ſermones tum ſuaves.
Sed nunc (eheu cladem!)
Etiam noſtra oſſa, ligni inſtar, quod ſcilicet vir
Findit, et quaquaverſum disjicit,
Sonitum ciens aſciâ; effunduntur miſerrimè
Luctuoſa extra tumulos *per* arva.
Intentis-oculis te perſeveranter-inſpicio, Pater:
Spes unica, ne me deſeras.
Caſſibus me benevolus ſerva, quos mihi appoſuerunt
Patratores facinorum nefariorum.
Simul decident homines in *ſui-ipſorum* caſſes improbi,
Ego, Pater, incolumis evadam.

DOMINE Deus omnipotens, quandoquidem vides nos profligatorum hominum calumniis vexari, da ut non contumelioſis illorum verbis contumelioſa verba opponamus, ſed potius ut ad te confugiamus, qui nos hoc modo vis exerceri. Tu verò, Domine, licet hoc tempore nos in arctiſſimas anguſtias redegeris, noſtris tamen rebus providebis: ut commutato rerum ſtatu, fleant hoſtes, qui modò nos irrident: & tu maximè & in noſtra afflictione, & felici illius exitu, juſtóque etiam hoſtium tuorum & noſtrorum exitio glorificeris. Per Chriſtum Dominum noſtrum. Amen.

ὝΜΝΟΣ ΣΥΜΕΩ͂ΝΟΣ.

Ὦ τεὸν τανῦν θεράποντ' ἐῴης
Ἠρέμ', ὡς δὴ σὺ ἔειπας, ὦναξ.
Καὶ τεὴν σωτήριον ἶνα 'μαὶ γὰρ
Εἶδον ὀπωπαί·
Τὴν λεῶς πάντεσσιν ἔδως τανύσσας,
Τὴν φόως πάντων πρυτάνευσας ἐθνῶν,
Τὴν φίλῳ κῦδος πόρες Ἰσραῆλι
Αἰὲν ἀγαςόν.



Ἡ τῆς γνησίας Θρησκείας Εἰκών.

ΕΙ'ΠΕ' σὺ τίς τελέθεις πενιχρὸν ῥάκος ἀμ-
ζωσθεῖσα.
Θρήσκει', ἀψευδὴς ἀθανάτου θυγατέρα.
Τίπτε πέπλος λιτός; Θνητῶν γάνος ἐξονοτάζω.
Τίς βίβλος ἥδε; Πατρὸς θεσμὰ σεβαςὰ φίλου.
Τίπτε γυμνὸν ςῆθος; Φιλοκάλῳ τοῦτο προσήκει.
Τίφθ' ἰςᾷ ςαυρῷ; Σταυρὸς ἐμοὶ ςάσιμος.
Τίπτε πτερωτός; Ἄτω θνητοὺς ὑπὲρ ἄςρα πελᾶσαι.
Τί ςίλβουσα; Νόου τὸ δνοφερὸν δονέω.
Ἡνία τίπτε; Βροτῶν δάμνω κρατερόφρονα λύσσαν.
Τίπτε μόρον πατέεις; Εἰμὶ μόροιο μόρος.

ΔΑΝΙΗ'Λ,

Canticum Symeonis. Luc. ii. 29.

NUNC dimittis ſervum tuum, Domine,
Secundùm verbum tuum, in pace.
Quia viderunt oculi mei ſalutem tuam,
Quam parâſti in oculis omnium populorum:
Lumen patefaciendum Gentibus, & gloriam populi tui Iſrael.



Veræ Religionis Deſcriptio.

QUÆNAM, age, tam lacero veſtita incedis amictu?
Relligio, ſummi vera Patris ſoboles.
Cur veſtis tam vilis? Opes contemno caducas.
Quis liber hic? Patris lex veneranda mei.
Cur nudum pectus? Decet hoc candoris amicam.
Cur innixa cruci? Crux mihi grata quies.
Cur alata? Homines doceo ſuper aſtra volare.
Cur radians? Mentis diſcutio tenebras.
Quid docet hoc frænum? Mentis cohibere furores.
Cur tibi mors premitur? Mors quia mortis ego.

ΔΑΝΙΗ`Λ, τοῦ προφήτου,

Κεφ. θ'.

Genus Carminis Heroicum. Monocolon.



ΛΑΟ`Ν Ἰουδαίων, ἱερὸν θάλος Ἀβραάμοιο,
Ἀθάνατος φιλέεσκε, νόμους καὶ θεσμὰ παρασχὼν,
Μνημόσυνον φιλίης εὐδαίμονος ὀλβιοδώρου.
Καὶ μέγαν ὅρκον ὄμοσσεν ἑὸν κραίνουσιν ἐέλδωρ,
Ἠδὲ τρίβους φεύγουσι κενῶν εἴδωλα καμόντων,
Ἦ μὴν εὐπορίειν ἀγαθῶν παμπληθὲς ὄνειαρ,
Ἀθανάτου ζωῆς ἐριούνιον οὖθαρ ὑποστάς.
Τοὔμπαλιν αὖ στυγερῆσιν ἑὸν κακὸν ἀμφαγαπῶντας
Οὐλομέναις ψυχαῖς, ἐρικυδέα θεσμὰ λιπόντας,
Εἰς ἐθνῶν ἀπάτας ἀβροτάξαντας Μωσῆος,
Τιννύσειν στυγεραῖς ἄταις, καὶ πήματ' ἰάψειν
Παντογενῆ, λιμοῦ καὶ λοιμοῦ καὶ πολέμοιο,
Ξυμπάντων τε κακῶν δεινοῖς βελέεσσιν ὀλέσσειν.
Αὐτίκα δὴ κατέλαμψεν ἀληθείης φάος ἠοῦ.
Λαὸν Ἰουδαίων κυδρὴν ἐς γαῖαν ἔβησε,
Γαῖαν πλουτοδότειραν, ὅποι τὸ μελισταγὲς ἁδροῦ

2 Νᾶμα

JOANNES SERRANUS

Candido et Pio Lectori.

VACATURIS aliquot paginis, hæc εἰδύλλια, ex Danielis precatione, quæ extat cap. ix. et ex Esaiæ cap. lix. a nobis (ut potuimus repræsentata) et nostrorum istorum Psalmorum argumento planè accommodata, de doctorum amicorum sententiâ, permisimus mandanda. Tu, erudite lector, longiora brevis cantionis προοίμια nobis condona.

DANIELIS Prophetæ Caput IX.

POPULUM Judæorum, sacrum germen Abrahami,
IMMORTALIS diligebat, *ei* legibus et institutis traditis,
In monumentum amicitiæ beatæ felicitatem-adferentis.
Necnon magno jurejurando fidem-sanxit suum exequentibus desiderium,
Et semitas devitantibus vanorum idola confingentium,
Certè quidem *se* comparaturum *ei* opum confertum bonum,
Immortalis vitæ perutile uber pollicitus.
E-contrà verò odio-dignis suum malum amplectentes
Exitiosis animis, admodum-illustria instituta deserentes,
In gentium præstigias descisentes a Mose,
Puniturum *se* odiosis calamitatibus, et *illis* mala illaturum
Omnigena, famis et pestis et belli,
Universarumque dirarum gravibus fulminibus perditurum.
Continuò igitur effulsit veritatis lux alma.
Populum Judæorum inclytam in terram ascendere-fecit,
Terram divitiarum datricem, ubi mellifluum copiosi

Νᾶμα βίου ῥέε καλὸν εὐῤῥαθάμιγγος ἐέρσης,
Καὶ γάλα λευκὸν ἔβρυεν ἐπασσυτέροις λιβάδεσσιν.
Καίνυτο δὴ, μέγα θαῦμα, λεὼς ὅδε ἔξοχα πάντων,
Νήριθμος, καὶ πάμπαν ὑπείροχος ἔσκεν ἁπάντων,
Κὰν στεναροῖς πολέμοις, κὰν κουροτρόφῳ εἰρήνῃ.
Καὶ δὴ πῖον ἐόντα περιπλομένων ἐνιαυτῶν
Πάμπολλαι λογάδες δράκον ἄφθονα ποιπνύοντα,
Κῦδος Ἰουδαίων τ᾽ ἐπ᾽ ἀπείρονα γαῖαν ἵκανεν.
Αὐτὰρ ἐπεὶ ῥ᾽ ἥμαρτον ἀϊδρείῃσι νόοιο,
Εἰδώλων ἀπάταις ἐπιπρηνέα μαργαίνοντες,
Καὶ νόμον ἀθανάτοιο κακῇ παρέβαινον ἀταρπῷ,
Καὶ τότε δὴ συγεραῖς ἄταις καὶ πήμασι πολλοῖς
Ἑβραῖοι, λιμοῦ τε λοιμοῦ καὶ πολέμοιο,
Ξυμπάντων τε κακῶν δεινοῖς βελέεσσιν ὄλωλαν.
Ἀσσυρίων πάμπρωτον ἄρης καὶ δεύτερον αὖθις
Χαλδαίων προπρὸ πέρσεν ἄρης Ἑβραΐδα γαῖαν.
Ἀθάνατος δ᾽ ἔμπης, καί γ᾽ ἄξια ταῦτα παθόντας
Πρόφρων ἐγκατέβλεψε, πρόφρων δέ τε τέρματα πῆξε
Πήμασ᾽ Ἰουδαίων· ὅτε τοὔδαφος ἔλλαβε κείνους
Χαλδαίων, συγγνοὺς δὴ ἐπ᾽ ἀλλοθρόοις ἀνθρώποις.
Τούτου ὀπιπτεύων πηλίκον αὐλῶνα χρόνοιο
Θεοδαὴς Δανιὴλ, κοινὸν πάθος ἄμμιγα πάσχων,
Τοιάδε δὴ πραπίδεσσιν ἐπηύξατο πευκαλίμῃσιν.
ἌΤΤ, ὯΝΑΞ φέρτιστε, τεοῦ θεσμοῖο φυλάσσων
Τέκμαρ, ἰδ᾽ ἀστυφέλικτον ἀεὶ ἀγανόφρον ὄνειαρ
Σῆς ἐλεημοσύνης τοῖς δὴ σέ τε καὶ τεὰ θεσμὰ
Ἐνδυκέως φιλέουσιν ἐπικρατέως διαδεικνύς.

Ἄμμες

Fluentum victûs ſcaturiebat jucundum *ex* bene-irrigantibus-guttis roris,
Et lac candidum ſtillabat crebris rivis.
Prævaluit porro, (magnum miraculum) populus iſte præ omnibus *aliis*,
Innumerus, et planè præſtantior erat omnibus,
Et-in validis bellis, et-in juvenum-nutrice pace.
Atque adeò talem exiſtentem circumvolentium annorum
Quàm-plurimi oculi viderunt copiosè-et ſedulò-agentem,
Famaque Judæorum in ultimas terras pervenit.
Verùm ſimulatque peccaviſſent inſcitiâ mentis,
Idolorum præſtigiis in-præceps [cernui] inſanientes,
Et legem Immortalis pravo tranſgreſſi-eſſent tramite;
Tunc etiam protinus triſtibus caſibus et damnis multis
Hebræi, peſtis et famis et belli,
Atque univerſarum dirarum gravibus fulminibus perierunt.
Aſſyriorum imprimis bellum, et mox iterum
Chaldæorum truculenter-devaſtavit bellum Hebræam terram.
Immortalis autem nihilominus, etſi condigna hæc paſſos,
Benevolus *eos* reſpexit, benevoluſque præſtitutum tempus ſtatuit
Damnis Judæorum; quando ſolum ceperat eos
Chaldæorum, odioſos quippe apud peregrinos homines.
Hujus inſpiciens præſtitutum intervallum temporis
Deo-doctus Daniel, communi clade unà-cum *cæteris* affectus,
Hoc ſanè modo precatus-eſt præcordiis ſapientibus.
O Domine præſtantiſſime, tui fœderis tuitus
Signum, et immotum ſemper benignum commodum
Tuæ miſericordiæ, *in* eos quippe, *qui* te et tua inſtituta
Unicè diligunt, efficaciter præſtans.

Ἄμμες μὰν ἄμμες γ' ἡμάρτομεν, ἠδὲ διαμπὰξ
Ἀσεβὲς ἔκθεσμοι, σῆς φραδμοσύνης παρέβημεν
Ἠδὲ θέμιστος ἀταρπὸν ἀτάσθαλοι, οὐδὲ προφήταις
Οὐ γινόμεθα τεοῖς πειθήνιοι· οἳ βασιλεῦσιν
Ἡμετέροις ἄρχουσί τ' ἰδ' ἡμετέροις γονέεσσιν
Καὶ λαῷ, σὸν διὰ τοὔνομα μυθήσαντο.
Σοὶ δὲ δικαιοσύνη, βασιλεῦ, τελέθει, καὶ ὄνειδος
Ἄμμι. τὸ δ' ἄμμες ὄνειδος Ἰουδαῖοι καὶ ἅπαντες
Ὠγύγιοι Σολύμων ναέται, ξύμπας τ' Ἰσραὴλ
Ἀλλοδαπῆς χθονὸς οὐδὸν ἐπισμυγερῶς πατέοντες,
Ἡμετέρας γε φοροῦμεν ἁμαρτάδος αἶσχος ἄλαστον.
Ἄμμι πέλοι συγερωπὸς ἐλεγχείη καὶ ὄνειδος,
Ἄμμι τε καὶ βασιλεῦσι καὶ ἄρχουσ' ἠδὲ γονεῦσιν.
Ἦ γὰρ δὴ μυσαρῶς ἡμάρτομεν ἄμμιγα πάντες.
Σὸν δὲ, πάτερ, πάμπαν τελέθει ἡμᾶς ἐλεαίρειν.
Οὐ γὰρ σοῖς, ὦναξ, μύθοις πιθόμεσθα, νόμου τε
Οὐ τρίβον ὀρθοποδοῦμεν, ὁμαρτοῦμέν τε προφήταις.
Ἰσραὴλ ξύμπας πρόπαν ἤμβροτε, νηκούστησε
Σῆς φωνῆς, θείου τε κακὸς λίπε θεσμὰ νόμοιο.
Στυγνὴ γοῦν ἡμῖν, τούτων χάριν, ἔῤῥεεν ἄτη,
Ἔῤῥεεν, ὡς ἱεροῦ ὅρκος Μωσῆος ἐνίσπεν.
Παμβασιλεῦ, μύθους ἐπετέλλεο, ὡς τὸ πάρος περ
Ἡμῶν τ' ἀρχόντων τε καθήπτεο. ἄγριον ἄτην
Παμμεγάλην, τόσσην οὐ χάνδανεν ἄπειρος αἶα,
Πήμασ' ἐπασσυτέροισιν ἐπήγαγες ὁρμηθεῖσαν,
Ὠκυμόρων Σολύμων ὅσσον πάθος. οὐδ' ἄρ' ἐτύχθη
Οὐκ ἀθεεὶ τόδε· Μωσῆος νόμος τόδ' ἔειπεν,
Εὐπήκτοις ποτὲ μὲν σκεθρῶς σελίδεσσι χαράξας.

Nos ſanè, nos peccavimus; et ſemper
Impiè exleges, tui conſilii transgreſſi-ſumus
Atque legis ſemitam neſarii, neque prophetis
Ullo-modo fuimus tuis dicto-audientes; qui regibus,
Noſtriſque principibus, necnon noſtris parentibus,
Et populo, tuo nomine prædicaverint.
Ad te quidem juſtitia, Domine, pertinet, et probrum
Ad nos. Hoc autem probrum nos Judæi, atque omnes
Antiqui Solymorum cives, et totus Iſrael
Alienigenæ terræ ſolum ærumnosè calcantes,
Noſtri geſtamus peccati dedecus indelibile.
Nobis ſit tetrica ignominia et probrum,
Nobis ſimul et regibus, ac principibus atque parentibus.
Certè enimverò infandùm peccavimus ſimul omnes.
Tuum autem, Pater, omnino eſt noſtrî miſereſcere.
Non enim tuis, Domine, juſſis morem-geſſimus, legiſque
Viâ non rectè-incedimus, nec comitamur prophetis.
Iſrael univerſus in-totum aberravit, repudiavit
Tuam vocem, divinæque pravus deſeruit inſtituta legis.
Triſtis itaque nos horum gratiâ inundavit calamitas;
Inundavit, ita-ut ſancti jusjurandum Moſis denunciavit.
Summe-Rex, mandata dabas *exequenda*, prout antea
Et nos et principes conteſtabaris *. Atrocem calamitatem,
Omninò-magnam, tantam non cepit immenſa tellus,
Cladibus confertis induxiſti ingruentem,
Quantus *eſt* ſubito-dirutorum Hieroſolymorum caſus.
Neque verò fortè fit,
Nec ſine-numine iſtud. Moſis lex illud prædixerat,
Bene-compactis olim utique paginis accuratè exaratum.

* Deut. xxxi. 28. et alibi.

Οὐδ' ἔμπης δὴ ἄμμες ἐπωπισάμεθα σεβαςὸν
Ἀθανάτοιο πρόσωπον, ὅπως μετάνοιαν ἑλόντες,
Ῥίψαντες κακίαν, λαζώμεθα νημέρτειαν.
Ἐσσυμένως σὺ μὲν ἄμμι βάλες ταλαπείριον ἄτην.
Τύνη γὰρ τύνη ἐπὶ σοῖς ἔργοισι δίκαιος
Ἦσθα· τεῒν δ' ἀδίκως, βασιλεῦ, ἀπιθήσαμεν ἄμμες.
Αὐτὰρ, παμφέρτιςε, πέλεις Θεὸς ἡμέτερος σὺ,
Ἐξερύσας λαὸν κρυερῆς τεὸν Αἰγύπτοιο
Χερσὶν ἐρισθενέεσσι, κλέος δ' ἄρα θῆκας ὀπίσσω,
Τήμερον ὡς πάντως ἐφάνη πάντεσσι βροτοῖσι.
Ἄμμες δὴ, ὦναξ, ἡμάρτομεν ἀσσεβέοντες.
Οὐ Σολύμων πτολίεθρον, ὄρος ζάθεόν τε Σιῶνα
Ἐκκρούσειε τεὴ μῆνις, πάτερ. ἦ γὰρ ὄνειδος
Ὅ, ττι πόλιν Σολύμων καὶ ὄρος σείβεσκε Σιῶνα,
Ἐξ ἡμῶν τελέθει. καὶ γάρ τ' ἄμμες τε γονεῖς τε
Ἡμέτεροί τ' ἄρχοντες ἁμάρτομεν ἄμμιγα πάντες.
Ἄττα, πάτερ φέρτιςε, τεοῦ θεράποντος ἰωῆς
Κλῦθι πρόφρων, ἵλαος ἔοις εὐχῆσιν ἐμῆσιν,
Εἵνεκέ σου μόνου· ἀγανὸν φώτιζε πρόσωπον,
Καὶ πράως ναὸν σκέπτου τεὸν εὐρώεντα,
Κἀκείνου ἐλέαιρον ἐρείπια, εἵνεκε σεῖο.
Κλῦθι πάτερ, θὲς ἐμαῖσι λιταῖς ἀριήκοον οὖας,
Καὶ πυκινοῖς ὥριςε τεοῖν βλεφάροισιν ὄπωπε
